# 0213-0270 - Gregorius Thaumaturgus - Ad Tatianum de anima per capita disputatio

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2063 008 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Ad Tatianum de anima per capita disputatio

[00001] ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΤΗΣ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΠΟΝΤΟΥ, ΕΠΩΝΥΜΙΑ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ, ΠΡΟΣ ΤΑΤΙΑΝΟΝ ΠΕΡΙ ΨΥΧΗΣ ΛΟΓΟΣ ΚΕΦΑΛΑΙΩΔΗΣ

[00002] Τὸν περὶ ψυχῆς σοι λόγον ἐκέλευσας ἡμῖν, ὦ θαυμάσιε Τατιανὲ, μετ' ἐνεργουσῶν ἀποδείξεων διαχαράξασιν ἀποστεῖλαι·

[00003] καὶ ταῦτα ἠξίους ποιεῖν, μὴ ταῖς τῶν Γραφῶν μαρτυρίαις χρησαμένους·

[00004] ὅπερ ἔστι τε καὶ τοῖς εὐσεβῶς φρονεῖν ἐθέλουσιν ἀληθὴς τυγχάνει διδασκαλία παντὸς ἀνθρωπίνου λογισμοῦ ἀποδεικτικωτέρα·

[00005] ἔφης γὰρ μὴ πρὸς τὴν ἑαυτοῦ πληροφορίαν τοῦτο ἐπιζητεῖν, πεπαιδευμένος ἤδη ταῖς θείαις προσανέχειν Γραφαῖς καὶ παραδόσεσι, καὶ μὴ στροφαῖς τῶν ἀνθρωπίνων λόγων δονεῖσθαι τὴν διάνοιαν·

[00006] ἀλλὰ πρὸς ἀνατροπὴν τῆς τῶν ἑτεροδό ξων γνώμης, οἳ πείθεσθαι ταῖς Γραφαῖς οὐκ ἀνέχον ται·

[00007] δεινότητι δέ τινι περιτρέπειν τοὺς ἀήθεις τῶν τοιούτων λόγων πειρῶνται.

[00008] Διὸ ἑτοίμως ὑπακοῦσαι τῷδε σῷ ἐπιτάγματι προήχθημεν, μηδὲν ὑποστειλά μενοι ὡς ἄπειροι τῆς τοιᾶσδε κατασκευῆς τῶν λό γων, ἀλλὰ τῇ σῇ περὶ ἡμᾶς εὐνοίᾳ θαῤῥήσαντες·

[00009] καὶ γὰρ οἶδας ἃ μὲν καλῶς ἔχειν δοκιμάζεις, ταῦτα εἰς τὸ κοινὸν προτιθέναι·

[00010] τὰ δὲ ἔλαττον τοῦ δέοντος δοκοῦντα εἰρῆσθαι, ταῦτα παρέπεσθαι καὶ ἀποκρύ πτεσθαι.

[00011] ἑκάτερα χάριτι τῇ πρὸς ἡμᾶς καὶ φιλίᾳ ποιῶν.

[00012] Ταῦτα οὖν εἰδὼς, μετὰ πάσης πεποιθήσεως ὡρμήθην ἐπὶ τὴν ἔκθεσιν.

[00013] Ποιήσομαι δὲ τὸν λόγον τάξει τινὶ καὶ ἀκολουθίᾳ χρησάμενος, ἥνπερ καὶ οἱ περὶ ταῦτα δεινοὶ κατεχρήσαντο πρὸς τοὺς ἐπιστημό νως ζητεῖν τι ἐθέλοντας.

[00014] Πρῶτον μὲν οὖν ἁπάντων ὑποθήσομαι, τίνι κριτη [10.1140] ρίῳ πέφυκεν ἡ ψυχὴ καταλαμβάνεσθαι·

[00015] ἔπειτα, δι' ὧν δείκνυται ὑπάρχουσα·

[00016] εἶθ' ἑξῆς, εἰ οὐσίᾳ τυγχάνει οὖσα, ἢ συμβεβηκός·

[00017] εἶτα τούτοις ἀκολούθως, εἰ σῶμά ἐστιν, ἢ ἀσώματος·

[00018] ἔπειτα, εἰ ἁπλῆ, ἢ σύν θετος·

[00019] εἶτ' αὖθις, εἰ θνητὴ, ἢ ἀθάνατος·

[00020] τελευταῖον δὲ, εἰ λογικὴ, ἢ ἄλογος.

[00021] Ταῦτα γὰρ μάλιστα ἐν τῷ περὶ ψυχῆς ζητεῖσθαι εἴωθε λόγῳ, ὡς κυριώτατα καὶ δυνάμενα αὐτῆς τὴν ἰδιότητα χαρακτηρίζειν.

[00022] Ἀποδείξεσι δὲ πρὸς τὴν τῶν ἐξετασθησομένων βεβαίωσιν, ταῖς κοιναῖς χρη σόμεθα ἐννοίαις, αἷς τὸ ἀξιόπιστον τὰ ἐν χερσὶ πράγ ματα μαρτυρεῖν πέφυκε.

[00023] Συντομίας δὲ χάριν καὶ τοῦ χρησίμου, μόνοις τοῖς πρὸς τὸ ἀναγκαῖον τοῦ ζητου μένου ἔχουσι τὴν ἀπόδειξιν, τὰ νῦν χρησόμεθα συλ λογισμοῖς·

[00024] ὅπως σαφῆ τε καὶ εὐπαράδεκτα τὰ νοήματα γενόμενα, ἑτοιμότητά τινα ἡμῖν ἐμποιήσῃ πρὸς τὴν τῶν ἀνθισταμένων ἀπάντησιν.

[00025] Ἀρξόμεθα οὖν τοῦ λόγου ἐντεῦθεν.

[00026] Τίνι τὸ καταληπτικὸν κριτήριον τῆς ψυχῆς.

[00027] Α′.

[00028] Πάντα τὰ ὄντα, ἢ αἰσθήσει γνωρίζεται, ἢ νοήσει καταλαμβάνεται.

[00029] Καὶ τὸ μὲν αἰσθήσει ὑποπί πτον, ἱκανὴν ἀπόδειξιν ἔχει τὴν αἴσθησιν·

[00030] ἅμα γὰρ τῇ προσβολῇ, καὶ τὴν φαντασίαν ἡμῖν ἐμποιεῖ τοῦ ὑποκειμένου.

[00031] Τὸ δὲ νοήσει καταλαμβανόμενον, οὐκ ἐξ ἑαυτοῦ, ἀλλ' ἐκ τῶν ἐνεργειῶν γνωρίζεται.

[00032] Ἡ τοίνυν ψυχὴ ἄγνωστος οὖσα ἐξ ἑαυτῆς, ἐκ τῶν ἀπο τελεσμάτων εἰκότως γνωσθήσεται.

[00033] Εἰ ἔστιν ἡ ψυχή.

[00034] Β′.

[00035] Τὸ σῶμα ἡμῶν κινούμενον, ἢ ἔξωθεν, ἢ ἔνδο θεν κινεῖται.

[00036] Καὶ ὅτι μὲν ἔξωθεν οὐ κινεῖται, δῆλον ἐκ τοῦ μήτε ὠθούμενον, μήτε ἑλκόμενον κινεῖσθαι, ὡς τὰ ἄψυχα.

[00037] Καὶ ἔνδοθεν δὲ πάλιν κινούμενον, οὐ φυσικῶς κινεῖται, ὡς τὸ πῦρ.

[00038] Ἐκεῖνο γὰρ οὐ παύ εται τοῦ κινεῖσθαι, εἰς ὅσον ἐστὶ πῦρ·

[00039] ὥσπερ τὸ σῶμα νεκρὸν γεγενημένον, ἀκινητεῖ σῶμα ὄν.

[00040] Οὐκ οὖν εἰ μήτε ἔξωθεν κινεῖται, ὡς καὶ ἄψυχα, μήτε φυσικῶς ὡς τὸ πῦρ, δῆλον ὅτι ὑπὸ ψυχῆς κινεῖται τῆς καὶ τὸ ζῆν αὐτῷ παρεχούσης.

[00041] Εἰ τοίνυν τῷ σώ ματι ἡμῶν ἡ ψυχὴ δείκνυται τὸ ζῆν παρέχουσα, ἔσται καὶ καθ' ἑαυτὴν ἡ ψυχὴ ἐκ τῶν ἐνεργειῶν γνωριζομένη.

[00042] Εἰ οὐσία ἐστὶν ἡ ψυχή.

[00043] Γ′.

[00044] Ὅτι μὲν οὐσία ἐστὶν ἡ ψυχὴ, δείκνυται οὕτως·

[00045] Πρῶτον μὲν, ὅτι τῆς οὐσίας ὅρος, καὶ ἐπ' αὐτῆς ἂν εἰκότως λεχθείη.

[00046] Ἔστι δὲ οὗτος·

[00047] Οὐσία ἐστὶ τὸ ταυτὸν, καὶ ἓν ἀριθμῷ, τῶν ἐναντίων παραμέρος εἶναι δεκτικόν.

[00048] Ὅτι δὲ ἡ ψυχὴ αὕτη τῆς ἰδίας φύ σεως μὴ ἐξισταμένη, τὰ ἐναντία δέχεται παραμέ ρος, παντί που δῆλον·

[00049] δικαιοσύνη γὰρ καὶ ἀδικία, ἀνδρία τε καὶ δειλία, σωφροσύνη τε καὶ ἀκολασία, ἐν αὐτῇ θεωροῦνται ἐναντία ὄντα.

[00050] Εἰ τοίνυν ἰδίωμα οὐσίας, τὸ τῶν ἐναντίων εἶναι παραμέρος δεκτικὸν, δείκνυται δὲ ἡ ψυχὴ τούτων ἐπιδεχομένη τὸν ὅρον, [10.1141] οὐσία ἄρα ἡ ψυχή.

[00051] Ἔπειτα καὶ τοῦ σώματος οὐσίας ὄντος, καὶ τὴν ψυχὴν οὐσίαν εἶναι ἀνάγκη·

[00052] οὐδὲ γὰρ οἷόν τε, τὸ ζωοποιούμενον οὐσίαν [ἄλλ.

[00053] ἐνούσιον] εἶναι·

[00054] τὸ δὲ ζωοποιοῦν, εἶναι ἀνούσιον.

[00055] Εἰ μή τις, καὶ τὸ μὴ ὂν, τοῦ ὄντος αἴτιον φήσειεν εἶναι·

[00056] ἢ πά λιν, τὸ ἐν ᾧ τὴν ὕπαρξιν ἔχον, καὶ οὗ ἄνευ εἶναι μὴ δυνάμενον [ἄλ.

[00057] καὶ ὁ ἄνευ τοῦ εἶναι μὴ δυνάμε νον], αἴτιον ἐκείνου εἶναι τοῦ ἐν ᾧ ἐστι, μανείς τι εἴποι.

[00058] Εἰ ἀσώματος ἡ ψυχή.

[00059] Δ′.

[00060] Ὅτι μὲν ἐν τῷ σώματι ἡμῶν ἡ ψυχή ἐστιν, ἀνωτέρω ἐδείχθη·

[00061] δεῖ τοίνυν εἰδέναι πῶς ἐν τῷ σώ ματι·

[00062] καὶ εἰ μὲν παράκειται αὐτῷ ὡς ψηφὶς ψηφίδι, σῶμα μὲν ἔσται ἡ ψυχὴ, ὅλον δὲ τὸ σῶμα οὐκ ἔσται ἔμψυχον·

[00063] μέρει γάρ τινι παρακείσεται [ἄλλ.

[00064] παρά κειται].

[00065] Εἰ δὲ ἐμμέμικται, ἢ ἐγκέκραται, πολυμε ρὴς ἂν γένοιτο ἡ ψυχὴ, καὶ οὐχ ἁπλῆ, τοῦ ἰδίου τῆς ψυχῆς λόγου ἐκβεβλημένη.

[00066] Τὸ γὰρ πολυμερὲς, καὶ διαιρετὸν, καὶ διαλυτόν·

[00067] τὸ δὲ διαλυτὸν, σύνθετον·

[00068] τὸ δὲ σύνθετον, τριχῆ διαστατόν.

[00069] Τὸ δὲ σῶμα σώματι προστιθέμενον, ὄγκον ποιεῖ·

[00070] ἡ δὲ ψυχὴ ἐν τῷ σώματι οὖσα, ὄγκον οὐ ποιεῖ, ἀλλὰ μᾶλλον ζωοποιεῖ.

[00071] Οὐκ ἄρα ἔσται ἡ ψυχὴ σῶμα, ἀλλ' ἀσώματος.

[00072] Ἔτι εἰ σῶμά [ἐστιν] ἡ ψυχὴ, ἢ ἔξωθεν ἢ ἔνδοθεν κινεῖται.

[00073] Οὔτε δὲ ἔξωθεν κινεῖται·

[00074] οὐ γὰρ ὠθεῖται, ἢ ἕλκεται, ὡς τὰ ἄψυχα·

[00075] οὔτε δὲ ἔσωθεν κινεῖται, ὡς τὰ ἔμψυχα·

[00076] ἄτοπον γὰρ ψυχῆς ψυχὴν λέγειν·

[00077] οὐκ ἔσται οὖν σῶμα·

[00078] ἀσώματος ἄρα.

[00079] Καὶ πάλιν, εἰ σῶμά ἐστιν ἡ ψυχὴ, καὶ τὰς ποιότη τας αἰσθητὰς ἔχει, καὶ τρέφεται·

[00080] ἀλλ' οὐ τρέφεται.

[00081] Καὶ εἰ τρέφεται, οὐ σωματικῶς τρέφεται ὡς τὸ σῶμα, ἀλλ' ἀσωμάτως·

[00082] λόγῳ γὰρ τρέφεται·

[00083] οὐ τοίνυν ποιό-τητας αἰσθητὰς ἔχει·

[00084] οὔτε γὰρ ὁρᾶται δικαιοσύνη, οὔτε ἀνδρία, οὔτε τῶν τοιούτων οὐδέν·

[00085] τῆς δὲ ψυχῆς αἱ ποιότητες αὗται·

[00086] οὐκ ἔστιν οὖν σῶμα·

[00087] ἀσώματος ἄρα.

[00088] Ἔτι, πάσης τῆς σωματικῆς οὐσίας εἰς ἔμψυχον καὶ ἄψυχον διαιρουμένης, εἰπάτωσαν οἱ σῶμα [ἄλ.

[00089] σωματικὴν] τὴν ψυχὴν λέγοντες, εἰ ἄψυχον αὐτὴν λεκτέον, ἢ ἔμψυχον.

[00090] Ἔτι, εἰ πᾶν σῶμα καὶ κέχρωσται, καὶ πεπόσω-ται, καὶ ἐσχημάτισται·

[00091] οὐδὲν δὲ τούτων ἐν τῇ ψυχῇ θεωρεῖται, οὐκ ἄρα σῶμα ἡ ψυχή.

[00092] Εἰ ἁπλῆ ἡ ψυχὴ, ἢ σύνθετος.

[00093] Ε'.

[00094] Δείκνυται τοίνυν, ὅτι εἰ ἁπλῆ ἡ ψυχὴ, ἐξ ὧν μάλιστα ἀσώματος ἀπεδείχθη.

[00095] Εἰ γὰρ σῶμα οὐκ ἔστι, σῶμα δὲ πᾶν σύνθετόν ἐστι·

[00096] τὸ δὲ συγκείμενον ἐκ μερῶν σύγκειται, οὐκοῦν καὶ πολυμερὴς ἔσται.

[00097] Ἀσώ-ματος δὲ οὖσα, ἁπλῆ ἐστιν·

[00098] ἐπειδὰν καὶ ἀσύνθετος, καὶ ἀμερής.

[00099] Εἰ ἀθάνατος ἡμῶν ἡ ψυχή.

*[00100]* ς

[00101] ʹ.

[00102] Ἀκόλουθον οἶμαι δεῖν τῷ ἁπλῷ, τὸ ἀθάνατον.

[00103] [10.1144] Καὶ ὅπως, ἄκουσον·

[00104] Οὐδὲν τῶν ὄντων, αὐτὸ ἑαυτοῦ φθαρτικόν ἐστιν, ἐπεὶ οὐκ ἂν οὔτ' ἐξ ἀρχῆς συνέστη.

[00105] Τὰ γὰρ φθειρόμενα, ἐκ τῶν ἐναντίων φθείρονται·

[00106] διὸ πᾶν φθειρόμενον, διαλυτόν ἐστι·

[00107] τὸ δὲ διαλυτὸν, σύν-θετον·

[00108] τὸ δὲ σύνθετον, πολυμερές·

[00109] τὸ δὲ ἐκ μερῶν συγκείμενον, δῆλον ὅτι [ἄλ.

[00110] δηλονότι] ἐκ διαφόρων σύγκειται μερῶν·

[00111] τὸ δὲ διάφορον, οὐ ταυτόν·

[00112] οὐκοῦν ἡ ψυχὴ ἁπλῆ οὖσα, καὶ μὴ ἐκ διαφόρων συγκειμένη μερῶν, ἀσύνθετος καὶ ἀδιάλυτος οὖσα, διὰ τοῦτο ἄφθαρτος καὶ ἀθάνατος ἔσται.

[00113] Ἔτι, πᾶν τὸ ἔκ τινος κινούμενον, οὐκ ἐξ ἑαυτοῦ ἔχον τὸ ζωτικὸν, ἀλλ' ἐκ τοῦ κινοῦντος, τοσοῦτον δια-μένει, ὅσον ὑπὸ τῆς ἐνεργούσης ἐν αὐτῷ διακρατεῖται δυνάμεως·

[00114] ἐπειδὰν δὲ παύσηται τὸ ἐνεργοῦν, διαλεί-πει καὶ αὐτὸ, τὸ ἐξ αὐτοῦ τὴν κίνησιν ἔχον.

[00115] Ἡ δὲ ψυχὴ αὐτοκίνητος οὖσα, οὐδέποτε τοῦ εἶναι διαλείπει.

[00116] Ἀκολουθεῖ γὰρ τῷ αὐτοκινήτῳ, τὸ ἀεὶ κινητὸν εἶναι·

[00117] τὸ δὲ ἀεικίνητον, ἄπαυστόν ἐστι·

[00118] τὸ δὲ ἄπαυστον, ἀτελεύτητον·

[00119] τὸ δὲ ἀτελεύτητον, ἄφθαρτον·

[00120] τὸ δὲ ἄφθαρτον, ἀθάνατον.

[00121] Εἰ τοίνυν ἡ ψυχὴ αὐτοκίνητός ἐστιν, ὡς ἀνωτέρω ἀπεδείχθη·

[00122] ἔσται ἄφθαρτος καὶ ἀθάνατος κατὰ τὸν προλεχθέντα [ἄλ.

[00123] προτεθέντα] συλλογισμόν.

[00124] Ἔτι, πᾶν ὑπὸ τῆς ἰδίας κακίας μὴ φθειρόμενον, ἄφθαρτόν ἐστι·

[00125] τὸ δὲ κακὸν τῷ καλῷ ἐναντίον, διὸ καὶ φθαρτικόν ἐστιν αὐτοῦ.

[00126] Οὐδὲν γάρ ἐστιν ἕτερον σώματος κακία, ἢ πάθος, καὶ νόσος, καὶ θάνατος·

[00127] ὥσπερ ἀρετὴ, κάλλος, ζωὴ, ὑγεία, καὶ εὐεξία.

[00128] Εἰ τοίνυν ἡ ψυχὴ ὑπὸ τῆς ἰδίας κακίας οὐ φθείρεται, κακία δὲ ψυχῆς δειλία, ἀκολασία, φθόνος, καὶ τὰ παραπλήσια, ταῦτα δὲ πάντα οὐκ ἀφαιρεῖται αὐτῆς τὸ ζῆν τε καὶ τὸ κινεῖσθαι·

[00129] ἀθάνατος ἄρα ἐστίν.

[00130] Εἰ λογικὴ ἡμῶν ἡ ψυχή.

[00131] Ζʹ.

[00132] Ὅτι δὲ λογικὴ ἡμῶν ἡ ψυχὴ, ἐκ πολλῶν ἄν τις δείξειε·

[00133] καὶ πρῶτον μὲν, ἐκ τοῦ τὰς τέχνας χρησί-μους οὔσας τῷ βίῳ αὐτὴν εὑρηκέναι.

[00134] Οὐδὲ γὰρ ἁπλῶς, καὶ ὡς ἔτυχε, εἴποι τις συνεστάναι τὰς τέχνας·

[00135] ἐπεὶ μήτε ἀργὰς, καὶ ἀνωφελεῖς αὐτὰς τῷ βίῳ ἀποδείξει.

[00136] Εἰ τοίνυν αἱ τέχναι συντελοῦσι πρὸς τὸ χρήσιμον τῷ βίῳ·

[00137] τὸ δὲ χρήσιμον ἐπαινετόν·

[00138] τὸ δὲ ἐπαινετὸν, λόγῳ κατασκευαστὸν, ψυχῆς δὲ εὕρημα αὗται·

[00139] λογικὴ ἄρα ἡμῶν ἡ ψυχή.

[00140] Ἔπειτα, ἐκ τοῦ τὰς αἰσθήσεις ἡμῶν μὴ ἱκανὰς εἶναι πρὸς τὴν τῶν πραγμάτων κατάληψιν, λογικὴ ἡμῶν ἡ ψυχὴ ἀποδείκνυται.

[00141] Οὐδὲ γὰρ ἀρκούμεθα πρὸς εἴδησιν τῶν ὄντων, τῇ τῆς αἰσθήσεως προσβολῇ.

[00142] Ἐπεὶ μηδὲ στῆναι περὶ αὐτὰ θέλομεν, αὐτίκα γοῦν τὰ τῷ σχήματι ἴσα, καὶ τῇ χροιᾷ ὅμοια καὶ διηρη-μένα ταῖς φύσεσιν [ἄλ.

[00143] ὄψεσιν], ἡ αἴσθησις ἄλογος οὖσα διακρῖναι ἀσθενεῖ.

[00144] Εἰ τοίνυν αἱ αἰσθήσεις ἄλογος οὖσαι, ψευδῆ ἡμῖν φαντασίαν τῶν ὄντων ἐμποιοῦσιν [10.1145] λογιστέον ἡμῖν, εἰ καταληπτέα τὰ ὄντα, ἢ μὴ, ὡς ἀλη-θῶς·

[00145] καὶ εἰ μὲν καταληπτέα, ἑτέρα ἐστὶν ἡ δύναμις, καὶ κρείττων παρὰ τὰς αἰσθήσεις, ἡ τούτων ἐφικνου-μένη.

[00146] Εἰ δὲ μὴ καταλαμβάνεται, οὐδὲ ἔσται ἡμῖν τὰ ἑτέρως παρὰ ὅ ἐστι θεωρούμενα [καταλαμβάνειν].

[00147] Ὅτι δὲ καταληπτὰ ἡμῖν ἐστι τὰ πράγματα, δῆλον ἐξ οὗ οἰ-κείως ἑκάστῳ πρὸς τὸ χρήσιμον χρώμεθα, καὶ πάλιν κατασκευάζομεν εἰς ἃ ἐθέλομεν.

[00148] Οὐκοῦν εἰ τὰ ὄντα ἡμῖν καταληπτὰ ἐδείχθη, αἱ δὲ αἰσθήσεις ἄλογοι οὖσαι, ψευ-δῶς δοκιμάζουσι, νοῦς ἔσται ὁ τὰ πάντα λόγῳ διακρί-νων [ἄλ.

[00149] ὁ πάντα λόγον διακρίνων], καὶ ἔστι ὡς ἀληθῶς τὰ ὄντα ἐπιγινώσκων·

[00150] νοῦς δὲ ψυχῆς τὸ λογικὸν μέ-ρος·

[00151] λογικὴ ἄρα ἡ ψυχή.

[00152] Ἔτι, ὅτι οὐδὲν ποιοῦμεν μὴ πρότερον ἑαυτοῖς δια-γράψαντες·

[00153] τοῦτο δὲ, οὐδὲν ἕτερόν ἐστιν ἢ τῆς ψυχῆς ἀξίωμα·

[00154] οὐδὲ γὰρ ἔξωθεν αὐτῇ προσγίνεται ἡ τῶν ὄντων εἴδησις, ἀλλ' αὐτὴ ὥσπερ ταῖς ἑαυτῆς ἐπινοίαις τὰ ὄντα κοσμεῖ.

[00155] Διὰ τοῦτο ἐν ἑαυτῇ προαναζωγρα-φοῦσα [ἄλ.

[00156] προαναζωγραφεῖ] πρότερον τὸ πρᾶγμα, εἶθ' οὕτως εἰς ἔργον ἐκφέρει.

[00157] Ἀξίωμα δὲ τῆς ψυχῆς, οὐδέν ἐστιν ἕτερον, ἢ τὸ μετὰ λόγου πάντα ποιεῖν·

[00158] ταυτῇ γὰρ καὶ διαφέρει, καὶ τῶν αἰσθήσεων.

[00159] Ἐδείχθη ἄρα λογικὴ ἡ ψυχή [ἄλ.

[00160] ταύτῃ γὰρ διαφέρειν καὶ τῶν αἰσθήσεων.

[00161] Ἐδείχθη ἄρα λογικὴ ἡ ψυχή].

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0213-0270 - Gregorius Thaumaturgus - Ad Tatianum de anima per capita disputatio**

**Litterarum Omnium Conspectus: 129 Litterae, quae repetitae sunt in 7,645 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 579 | Α | 0913 | 13 |
| β | 0946 | 17 | Β | 0914 | 1 |
| γ | 0947 | 94 | Γ | 0915 | 9 |
| δ | 0948 | 167 | Δ | 0916 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| ε | 0949 | 388 | Ε | 0917 | 24 |
| ζ | 0950 | 21 | Ζ | 0918 | 1 |
| η | 0951 | 88 | Η | 0919 | 5 |
| θ | 0952 | 118 | Θ | 0920 | 1 |
| ι | 0953 | 417 | Ι | 0921 | 10 |
| κ | 0954 | 246 | Κ | 0922 | 9 |
| λ | 0955 | 152 | Λ | 0923 | 2 |
| μ | 0956 | 207 | Μ | 0924 | 3 |
| ν | 0957 | 626 | Ν | 0925 | 7 |
| ξ | 0958 | 32 | Ξ | 0926 | 0 |
| ο | 0959 | 447 | Ο | 0927 | 26 |
| π | 0960 | 188 | Π | 0928 | 11 |
| ρ | 0961 | 226 | Ρ | 0929 | 7 |
| ς | 0962 | 231 | • | 0930 | 0 |
| σ | 0963 | 277 | Σ | 0931 | 11 |
| τ | 0964 | 640 | Τ | 0932 | 18 |
| υ | 0965 | 158 | Υ | 0933 | 10 |
| φ | 0966 | 49 | Φ | 0934 | 1 |
| χ | 0967 | 111 | Χ | 0935 | 1 |
| ψ | 0968 | 65 | Ψ | 0936 | 1 |
| ω | 0969 | 90 | Ω | 0937 | 3 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 1 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 72 | έ | 8051 | 73 | ή | 8053 | 49 | ί | 8055 | 116 | ό | 8057 | 62 | ύ | 8059 | 41 | ώ | 8061 | 18 |
| ὰ | 8048 | 64 | ὲ | 8050 | 72 | ὴ | 80852 | 72 | ὶ | 8054 | 87 | ὸ | 8056 | 88 | ὺ | 8058 | 2 | ὼ | 8060 | 1 |
| ᾶ | 8118 | 11 | | | 0 | ῆ | 8134 | 52 | ῖ | 8150 | 62 | | | 0 | ῦ | 8166 | 57 | ῶ | 8182 | 72 |
| ἀ | 7936 | 75 | ἐ | 7952 | 102 | ἠ | 7968 | 1 | ἰ | 7984 | 61 | ὀ | 8000 | 0 | ὐ | 8016 | 75 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 9 | ἑ | 7953 | 17 | ἡ | 7969 | 54 | ἱ | 7985 | 8 | ὁ | 8001 | 4 | ὑ | 8017 | 12 | ὡ | 8033 | 15 |
| ἂ | 7938 | 3 | ἒ | 7954 | 1 | ἢ | 7970 | 20 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 2 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 1 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 44 | ἔ | 7956 | 45 | ἤ | 7972 | 1 | ἴ | 7988 | 9 | ὄ | 8004 | 17 | ὔ | 8020 | 8 | ὤ | 8036 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἅ | 7941 | 0 | ἕ | 7957 | 4 | ἥ | 7973 | 1 | ἵ | 7989 | 0 | ὅ | 8005 | 15 | ὕ | 8021 | 4 | ὥ | 8037 | 3 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 0 | ἶ | 7990 | 19 | | | 0 | ὖ | 8022 | 16 | ὦ | 8038 | 1 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 2 | | | 0 | ὗ | 8023 | 5 | ὧ | 8039 | 2 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 2 |
| ᾳ | 8115 | 4 | | | 0 | ῃ | 8131 | 3 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 10 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 17 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 20 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0213-0270 - Gregorius Thaumaturgus - Ad Tatianum de anima per capita disputatio**
**Verborum Omnium Conspectus: 687Verba, quae repetita sunt in 2,186,694 occasionibus**

---

**ἃ** [00009] [00147]
**Α** [00027]
**ΑΓΙΟΙΣ** [00001]
**ἄγνωστος** [00032]
**ἀδιάλυτος** [00112]
**ἀδικία** [00049]
**ἀεὶ** [00116]
**ἀεικίνητον** [00117]
**ἀήθεις** [00007]
**ἀθάνατον** [00102] [00120]
**ἀθάνατος** [00019] [00099] [00112] [00122] [00129]
**αἱ** [00085] [00136] [00144] [00148]
**αἷς** [00022]
**αἰσθήσει** [00028] [00029]
**αἰσθήσεις** [00140] [00144] [00145] [00148]
**αἰσθήσεων** [00158] [00160]
**αἰσθήσεως** [00141]
**αἴσθησιν** [00029]
**αἴσθησις** [00143]
**αἰσθητὰς** [00079] [00083]
**αἴτιον** [00055] [00057]
**ἀκινητεῖ** [00039]
**ἀκολασία** [00049] [00128]
**Ἀκολουθεῖ** [00116]
**ἀκολουθίᾳ** [00013]
**Ἀκόλουθον** [00102]
**ἀκολούθως** [00017]
**ἄκουσον** [00103]
**ἄλ** [00056] [00088] [00109] [00122] [00142] [00148] [00155] [00159]
**ἀλη θῶς** [00144]
**ἀληθὴς** [00004]
**ἀληθῶς** [00149]
**ἀλλ** [00031] [00071] [00080] [00081] [00113] [00154]
**ἄλλ** [00052] [00063]
**ἀλλὰ** [00006] [00008] [00070]
**ἄλογοι** [00148]
**ἄλογος** [00020] [00143] [00144]
**ἅμα** [00030]
**ἀμερής** [00098]
**ἂν** [00045] [00065] [00104]
**ἄν** [00132]
**ἀναγκαῖον** [00023]
**ἀνάγκη** [00051]
**ἀνατροπὴν** [00006]
**ἀνδρία** [00049] [00084]

**ἄνευ** [00056] [00057]
**ἀνέχον** [00006]
**ἀνθισταμένων** [00024]
**ἀνθρωπίνου** [00004]
**ἀνθρωπίνων** [00005]
**ἀνούσιον** [00054]
**ἀνωτέρω** [00060] [00121]
**ἀνωφελεῖς** [00135]
**ἀξιόπιστον** [00022]
**ἀξίωμα** [00153]
**Ἀξίωμα** [00157]
**ἀπάντησιν** [00024]
**ἁπάντων** [00014]
**ἄπαυστόν** [00117]
**ἄπαυστον** [00118]
**ἀπεδείχθη** [00094] [00121]
**ἄπειροι** [00008]
**ἁπλῇ** [00018] [00065] [00092] [00094] [00097] [00112]
**ἁπλῷ** [00102]
**ἁπλῶς** [00134]
**ἀποδείκνυται** [00140]
**ἀποδεικτικωτέρα** [00004]
**ἀποδείξει** [00135]
**Ἀποδείξεσι** [00022]
**ἀποδείξεων** [00002]
**ἀπόδειξιν** [00023] [00029]
**ἀποκρύ** [00010]
**ἀποστεῖλαι** [00002]
**ἄρα** [00050] [00071] [00078] [00087] [00091] [00129] [00139] [00151] [00159] [00161]
**ἀργὰς** [00135]
**ἀρετὴ** [00127]
**ἀριθμῷ** [00047]
**ἀρκούμεθα** [00141]
**Ἀρξόμεθα** [00025]
**ἀρχῆς** [00104]
**ἀσθενεῖ** [00143]
**ἀσύνθετος** [00098] [00112]
**Ἀσώ ματος** [00097]
**ἀσώματος** [00017] [00058] [00071] [00078] [00087] [00094]
**ἀσωμάτως** [00081]
**ἀτελεύτητον** [00118] [00119]
**ἄτοπον** [00076]
**αὖθις** [00019]
**αὐτὰ** [00142]
**αὗται** [00085] [00138]
**αὐτὰς** [00135]
**αὐτὴ** [00154]
**αὐτῇ** [00049] [00154]
**αὕτη** [00048]
**αὐτὴν** [00089] [00133]
**αὐτῆς** [00021] [00045] [00128]
**αὐτίκα** [00142]
**αὐτὸ** [00104] [00114]
**αὐτοκίνητός** [00121]
**αὐτοκίνητος** [00115]
**αὐτοκινήτῳ** [00116]
**αὐτοῦ** [00114] [00125]
**αὐτῷ** [00040] [00062] [00113]
**ἀφαιρεῖται** [00128]
**ἄφθαρτόν** [00124]
**ἄφθαρτον** [00119] [00120]
**ἄφθαρτος** [00112] [00122]
**ἄψυχα** [00036] [00040] [00074]
**ἄψυχον** [00088] [00089]

**Β** [00034]
**βεβαίωσιν** [00022]
**βίῳ** [00133] [00135] [00136]

**Γ** [00043]
**γὰρ** [00005] [00009] [00021] [00030] [00038] [00049] [00052] [00066] [00074] [00076] [00082] [00084] [00095] [00105] [00116] [00134] [00141] [00154] [00158] [00160]
**γάρ** [00063] [00126]
**γεγενημένον** [00039]
**γένοιτο** [00065]
**γενόμενα** [00024]
**γνώμης** [00006]
**γνωρίζεται** [00028] [00031]
**γνωριζομένη** [00041]
**γνωσθήσεται** [00032]
**γοῦν** [00142]
**Γραφαῖς** [00005] [00006]
**Γραφῶν** [00003]
**ΓΡΗΓΟΡΙΟΥ** [00001]
**γων** [00008]

**Δ** [00059]
**δὲ** [00010] [00013] [00020] [00022] [00023] [00031] [00037] [00046] [00048] [00050] [00054] [00062] [00065] [00067] [00068] [00069] [00070] [00073] [00075] [00085] [00091] [00095] [00096] [00097] [00107] [00108] [00109] [00111] [00114] [00115] [00117] [00118] [00119] [00120] [00125] [00128] [00128] [00132] [00137] [00138] [00138] [00146] [00147] [00148] [00150] [00153] [00157]
**δέ** [00007]
**δεῖ** [00061]
**Δείκνυται** [00094]
**δείκνυται** [00015] [00041] [00044] [00050]
**δειλία** [00049] [00128]
**δεῖν** [00102]
**δεινοὶ** [00013]
**δεινότητι** [00007]
**δείξειε** [00132]
**δεκτικὸν** [00050]
**δεκτικόν** [00047]
**δέοντος** [00010]
**δέχεται** [00048]
**δῆλον** [00036] [00040] [00048] [00109] [00147]
**δηλονότι** [00110]
**δι** [00015]
**Διὰ** [00155]
**διὰ** [00112]
**δια γράψαντες** [00152]
**δια μένει** [00113]
**διαιρετὸν** [00066]
**διαιρουμένης** [00088]

**διακρατεῖται** [00113]
**διακρί νων** [00148]
**διακρῖναι** [00143]
**διακρίνων** [00149]
**διαλεί πει** [00114]
**διαλείπει** [00115]
**διαλυτὸν** [00067] [00107]
**διαλυτόν** [00066] [00106]
**διάνοιαν** [00005]
**διαστατόν** [00068]
**διαφέρει** [00158]
**διαφέρειν** [00160]
**διάφορον** [00111]
**διαφόρων** [00110] [00112]
**διαχαράξασιν** [00002]
**διδασκαλία** [00004]
**διῃρη μένα** [00142]
**δικαιοσύνη** [00049] [00084]
**Διὸ** [00008]
**διὸ** [00106] [00125]
**δοκιμάζεις** [00009]
**δοκιμάζουσι** [00148]
**δοκοῦντα** [00010]
**δονεῖσθαι** [00005]
**δυνάμε** [00057]
**δυνάμενα** [00021]
**δυνάμενον** [00056]
**δυνάμεως** [00113]
**δύναμις** [00145]

**E** [00093]
**ἑαυτῇ** [00155]
**ἑαυτὴν** [00041]
**ἑαυτῆς** [00032] [00154]
**ἑαυτοῖς** [00152]
**ἐαυτοῦ** [00005]
**ἑαυτοῦ** [00031] [00104] [00113]
**ἐγκέκραται** [00065]
**ἐδείχθη** [00060] [00148]
**Ἐδείχθη** [00159] [00161]
**ἐθέλομεν** [00147]
**ἐθέλοντας** [00013]
**ἐθέλουσιν** [00004]
**Εἰ** [00033] [00041] [00042] [00050] [00055] [00058] [00065] [00092] [00095] [00099] [00121] [00128] [00130] [00136] [00144] [00146]
**εἰ** [00016] [00017] [00018] [00019] [00020] [00040] [00062] [00072] [00079] [00081] [00089] [00090] [00094] [00144] [00145] [00148]
**εἰδέναι** [00061]
**εἴδησιν** [00141]
**εἴδησις** [00154]
**εἰδὼς** [00012]
**εἶθ** [00016] [00156]
**εἰκότως** [00032] [00045]
**εἶναι** [00047] [00050] [00051] [00053] [00054] [00055] [00056] [00057] [00057] [00115] [00116] [00140]
**εἰπάτωσαν** [00088]
**εἴποι** [00057] [00134]
**εἰρῆσθαι** [00010]
**εἰς** [00009] [00038] [00088] [00147] [00156]
**εἶτ** [00019]
**εἶτα** [00017]
**εἴωθε** [00021]
**ἐκ** [00031] [00032] [00036] [00041] [00096] [00105] [00109] [00110] [00112] [00113] [00132] [00133] [00140]
**ἔκ** [00113]
**ἑκάστῳ** [00147]
**ἑκάτερα** [00011]
**ἐκβεβλημένη** [00065]
**Ἐκεῖνο** [00038]
**ἐκείνου** [00057]
**ἐκέλευσας** [00002]
**ἔκθεσιν** [00012]
**ἐκφέρει** [00156]
**ἔλαττον** [00010]
**ἕλκεται** [00074]
**ἑλκόμενον** [00036]
**ἐμμέμικται** [00065]
**ἐμποιεῖ** [00030]
**ἐμποιήσῃ** [00024]
**ἐμποιοῦσιν** [00144]
**ἔμψυχα** [00075]
**ἔμψυχον** [00062] [00088] [00089]
**ἐν** [00021] [00022] [00049] [00056] [00057] [00060] [00061] [00070] [00091] [00113] [00155]
**ἓν** [00047]
**EN** [00001]
**ἐναντία** [00048] [00049]
**ἐναντίον** [00125]
**ἐναντίων** [00047] [00050] [00105]
**ἔνδο** [00035]
**ἔνδοθεν** [00037] [00072]
**ἐνεργειῶν** [00031] [00041]
**ἐνεργοῦν** [00114]
**ἐνεργούσης** [00113]
**ἐνεργουσῶν** [00002]
**ἐννοίαις** [00022]
**ἐνούσιον** [00053]
**ἐντεῦθεν** [00025]
**ἐξ** [00031] [00032] [00094] [00104] [00113] [00114] [00147]
**ἐξετασθησομένων** [00022]
**ἑξῆς** [00016]
**ἐξισταμένη** [00048]
**ἔξωθεν** [00035] [00036] [00040] [00072] [00073] [00154]
**ἐπ** [00045]
**ἐπαινετὸν** [00138]
**ἐπαινετόν** [00137]
**ἐπεὶ** [00104] [00135]
**Ἐπεὶ** [00142]
**ἐπειδὰν** [00098] [00114]
**ἔπειτα** [00015] [00018]
**Ἔπειτα** [00051] [00140]
**ἐπὶ** [00012]
**ἐπιγινώσκων** [00149]
**ἐπιδεχομένη** [00050]
**ἐπιζητεῖν** [00005]
**ἐπινοίαις** [00154]
**ΕΠΙΣΚΟΠΟΥ** [00001]
**ἐπιστημό** [00013]
**ἐπιτάγματι** [00008]

**ΕΠΩΝΥΜΙΑ** [00001]
**ἔργον** [00156]
**ἔσται** [00041] [00062] [00062] [00071] [00077] [00096] [00112] [00122] [00146] [00148]
**ἐστὶ** [00038] [00047]
**ἐστι** [00057] [00095] [00106] [00117] [00124] [00146] [00147]
**ἔστι** [00004] [00095] [00149]
**Ἔστι** [00046]
**ἐστὶν** [00042] [00044] [00145]
**ἐστίν** [00129]
**ἐστιν** [00017] [00060] [00072] [00079] [00097] [00104] [00121] [00125] [00126] [00153] [00157]
**ἔστιν** [00033] [00086]
**ἐσχημάτισται** [00090]
**ἔσωθεν** [00075]
**εται** [00038]
**ἑτέρα** [00145]
**ἑτεροδό** [00006]
**ἕτερόν** [00153]
**ἕτερον** [00126] [00157]
**ἑτέρως** [00146]
**Ἔτι** [00072] [00088] [00090] [00113] [00124] [00152]
**ἑτοιμότητά** [00024]
**ἑτοίμως** [00008]
**ἔτυχε** [00134]
**εὐεξία** [00127]
**εὐνοίᾳ** [00008]
**εὐπαράδεκτα** [00024]
**εὑρηκέναι** [00133]
**εὕρημα** [00138]
**εὐσεβῶς** [00004]
**ἔφης** [00005]
**ἐφικνου μένη** [00145]
**ἔχει** [00029] [00079] [00083]
**ἔχειν** [00009]
**ἔχον** [00056] [00113] [00114]
**ἔχουσι** [00023]

**Ζ** [00131]
**ζῆν** [00040] [00041] [00128]
**ζητεῖν** [00013]
**ζητεῖσθαι** [00021]
**ζητου** [00023]
**ζωὴ** [00127]
**ζωοποιεῖ** [00070]
**ζωοποιούμενον** [00052]
**ζωοποιοῦν** [00054]
**ζωτικὸν** [00113]

**ἡ** [00014] [00033] [00041] [00041] [00042] [00044] [00048] [00050] [00050] [00058] [00060] [00062] [00065] [00070] [00071] [00072] [00079] [00091] [00092] [00094] [00099] [00112] [00121] [00128] [00130] [00132] [00139] [00140] [00143] [00145] [00145] [00151] [00154] [00159] [00161]
**ἢ** [00016] [00017] [00018] [00019] [00020] [00028] [00028] [00035] [00035] [00056] [00065] [00072] [00072] [00074] [00089] [00092] [00126] [00144] [00153] [00157]
**Ἡ** [00032] [00115]
**ἤδη** [00005]
**ἡμᾶς** [00008] [00011]
**ἡμῖν** [00002] [00024] [00030] [00144] [00144] [00146] [00147] [00148]
**ἡμῶν** [00035] [00041] [00060] [00099] [00130] [00132] [00139] [00140] [00140]
**ΗΜΩΝ** [00001]
**ἥνπερ** [00013]
**ἠξίους** [00003]

**θάνατος** [00126]
**θαῤῥήσαντες** [00008]
**θαυμάσιε** [00002]
**ΘΑΥΜΑΤΟΥΡΓΟΥ** [00001]
**θείαις** [00005]
**θέλομεν** [00142]
**θεν** [00035]
**θετος** [00018]
**θεωρεῖται** [00091]
**θεωρούμενα** [00146]
**θεωροῦνται** [00049]
**θνητὴ** [00019]

**ἰδίας** [00048] [00124] [00128]
**ἰδιότητα** [00021]
**ἰδίου** [00065]
**ἰδίωμα** [00050]
**ἱκανὰς** [00140]
**ἱκανὴν** [00029]
**ἶσα** [00142]

**καθ** [00041]
**κακία** [00126] [00128]
**κακίας** [00124] [00128]
**κακὸν** [00125]
**κάλλος** [00127]
**καλῷ** [00125]
**καλῶς** [00009]
**καταλαμβάνειν** [00146]
**καταλαμβάνεσθαι** [00014]
**καταλαμβάνεται** [00028] [00146]
**καταλαμβανόμενον** [00031]
**καταληπτὰ** [00147] [00148]
**καταληπτέα** [00144] [00145]
**καταληπτικὸν** [00026]
**κατάληψιν** [00140]
**κατασκευάζομεν** [00147]
**κατασκευαστὸν** [00138]
**κατασκευῆς** [00008]
**κατεχρήσαντο** [00013]
**κειται** [00064]
**ΚΕΦΑΛΑΙΩΔΗΣ** [00001]
**κέχρωσται** [00090]
**κινεῖσθαι** [00036] [00038] [00128]
**κινεῖται** [00035] [00036] [00037] [00040] [00040] [00072] [00073] [00075]
**κίνησιν** [00114]
**κινητὸν** [00116]
**κινούμενον** [00035] [00037] [00113]

**κινοῦντος** [00113]
**κοιναῖς** [00022]
**κοινὸν** [00009]
**κοσμεῖ** [00154]
**κρείττων** [00145]
**κριτη** [00014]
**κριτήριον** [00026]
**κυριώτατα** [00021]

**λέγειν** [00076]
**λέγοντες** [00089]
**λεκτέον** [00089]
**λεχθείη** [00045]
**λιν** [00056]
**λό** [00008]
**λογικὴ** [00020] [00130] [00132] [00139] [00140] [00151] [00159] [00161]
**λογικὸν** [00150]
**λογισμοῖς** [00023]
**λογισμοῦ** [00004]
**λογιστέον** [00144]
**λόγον** [00002] [00013] [00149]
**ΛΟΓΟΣ** [00001]
**λόγου** [00025] [00065] [00157]
**λόγῳ** [00021] [00082] [00138] [00148]
**λόγων** [00005] [00007]

**μάλιστα** [00021] [00094]
**μᾶλλον** [00070]
**μανείς** [00057]
**μαρτυρεῖν** [00022]
**μαρτυρίαις** [00003]
**ματα** [00022]
**ματι** [00041] [00061]
**μέ ρος** [00150]
**μὲν** [00009] [00014] [00029] [00036] [00044] [00045] [00060] [00062] [00062] [00133] [00145]
**μενοι** [00008]
**μένου** [00023]
**μέρει** [00063]
**μερῶν** [00096] [00109] [00110] [00112]
**μετ** [00002]
**μηδὲ** [00142]
**μηδὲν** [00008]
**μήτε** [00036] [00036] [00040] [00040] [00135]
**μόνοις** [00023]

**νεκρὸν** [00039]
**ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ** [00001]
**νοήματα** [00024]
**νοήσει** [00028] [00031]
**νον** [00057]
**νόσος** [00126]
**νοῦς** [00148] [00150]
**νῦν** [00023]
**νως** [00013]

**ξων** [00006]

**ὁ** [00057] [00148] [00149]
**ὅ** [00146]
**ὄγκον** [00069] [00070]
**οἱ** [00013] [00088]
**οἷ** [00006]
**οἱ κείως** [00147]
**οἶδας** [00009]
**οἶμαι** [00102]
**οἷόν** [00052]
**ὅλον** [00062]
**ὅμοια** [00142]
**ὃν** [00055]
**ὄν** [00039]
**ὄντα** [00028] [00049] [00144] [00148] [00149] [00154]
**ὄντος** [00051] [00055]
**ὄντων** [00104] [00141] [00144] [00154]
**ὅπερ** [00004]
**ὅπως** [00024] [00103]
**ὁρᾶται** [00084]
**ὅρον** [00050]
**ὅρος** [00045]
**ὄσον** [00038]
**ὅσον** [00113]
**ὅτι** [00036] [00040] [00045] [00094] [00109] [00152]
**Ὄτι** [00044]
**Ὅτι** [00048] [00060] [00132] [00147]
**οὐ** [00036] [00037] [00038] [00070] [00074] [00080] [00081] [00083] [00111] [00128]
**οὗ** [00056] [00147]
**Οὐδὲ** [00134] [00141]
**οὐδὲ** [00052] [00146] [00154]
**Οὐδὲν** [00104] [00126]
**οὐδὲν** [00091] [00152] [00153]
**οὐδέν** [00084] [00157]
**οὐδέποτε** [00115]
**Οὐκ** [00040] [00071]
**οὐκ** [00006] [00031] [00062] [00077] [00086] [00091] [00095] [00104] [00113] [00128]
**Οὐκοῦν** [00148]
**οὐκοῦν** [00096] [00112]
**οὖν** [00012] [00014] [00025] [00077] [00086]
**οὖν** [00040]
**οὖσα** [00016] [00032] [00070] [00097] [00112] [00112] [00115] [00143]
**οὖσαι** [00144] [00148]
**οὖσας** [00133]
**Οὐσία** [00047]
**οὐσίᾳ** [00016]
**οὐσία** [00042] [00044] [00050]
**οὐσίαν** [00051] [00052]
**οὐσίας** [00045] [00050] [00051] [00088]
**οὔτ** [00104]

**Οὔτε** [00073]
**οὔτε** [00075] [00084] [00084] [00084]
**οὗτος** [00046]
**οὕτως** [00044] [00156]
**οὐχ** [00065]
**ὄψεσιν** [00143]

**πά** [00056]
**πάθος** [00126]
**πάλιν** [00037] [00079] [00147]
**πᾶν** [00090] [00095] [00106] [00113] [00124]
**Πάντα** [00028]
**πάντα** [00128] [00148] [00149] [00157]
**παντί** [00048]
**παντὸς** [00004]
**παρὰ** [00145] [00146]
**παρά** [00064]
**παραδόσεσι** [00005]
**παρακείσεται** [00063]
**παράκειται** [00062]
**παραμέ** [00048]
**παραμέρος** [00047] [00050]
**παραπλήσια** [00128]
**παρέπεσθαι** [00010]
**παρέχουσα** [00041]
**παρεχούσης** [00040]
**πάσης** [00012] [00088]
**ΠΑΤΡΟΣ** [00001]
**παύ** [00038]
**παύσηται** [00114]
**πείθεσθαι** [00006]
**πειρῶνται** [00007]
**πεπαιδευμένος** [00005]
**πεποιθήσεως** [00012]
**πεπόσω ται** [00090]
**ΠΕΡΙ** [00001]
**περὶ** [00002] [00008] [00013] [00021] [00142]
**περιτρέπειν** [00007]
**πέφυκε** [00022]
**πέφυκεν** [00014]
**πληροφορίαν** [00005]
**ποιεῖ** [00069] [00070]
**ποιεῖν** [00003] [00157]
**Ποιήσομαι** [00013]
**ποιό τητας** [00083]
**ποιότη** [00079]
**ποιότητες** [00085]
**ποιοῦμεν** [00152]
**ποιῶν** [00011]
**πολλῶν** [00132]
**πολυμε** [00065]
**πολυμερὲς** [00066]
**πολυμερές** [00108]
**πολυμερὴς** [00096]
**ΠΟΝΤΟΥ** [00001]
**που** [00048]
**πράγ** [00022]
**πρᾶγμα** [00156]
**πράγματα** [00147]
**πραγμάτων** [00140]
**προαναζωγρα φοῦσα** [00155]
**προαναζωγραφεῖ** [00156]
**προήχθημεν** [00008]
**προλεχθέντα** [00122]
**πρὸς** [00005] [00006] [00011] [00013] [00022] [00023] [00024] [00136] [00140] [00141] [00147]
**ΠΡΟΣ** [00001]
**προσανέχειν** [00005]
**προσβολῇ** [00030] [00141]
**προσγίνεται** [00154]
**προστιθέμενον** [00069]
**προτεθέντα** [00123]
**πρότερον** [00152] [00156]
**προτιθέναι** [00009]
**Πρῶτον** [00014] [00045]
**πρῶτον** [00133]
**πτεσθαι** [00010]
**πτον** [00029]
**πῦρ** [00037] [00038] [00040]
**πῶς** [00061]

**ρὴς** [00065]
**ρίῳ** [00014]
**ρος** [00048]

**σαφῆ** [00024]
**σεως** [00048]
**σῆ** [00008]
**σοι** [00002]
**σόμεθα** [00022]
**στῆναι** [00142]
**στροφαῖς** [00005]
**συγκειμένη** [00112]
**συγκείμενον** [00096] [00109]
**σύγκειται** [00096] [00110]
**συλ** [00023]
**συλλογισμόν** [00123]
**συμβεβηκός** [00016]
**σύν** [00018]
**σύν θετον** [00107]
**συνεστάναι** [00134]
**συνέστη** [00104]
**σύνθετόν** [00095]
**σύνθετον** [00067] [00068] [00108]
**σύνθετος** [00092]
**συντελοῦσι** [00136]
**Συντομίας** [00023]
**σχήματι** [00142]
**σώ** [00041] [00061]
**σῷ** [00008]
**σῶμά** [00017] [00072] [00079]

σῶμα [00035] [00039] [00039] [00062] [00062] [00069] [00071] [00077] [00081] [00086] [00088] [00090] [00091] [00095] [00095]
σώματι [00060] [00069] [00070]
σωματικὴν [00089]
σωματικῆς [00088]
σωματικῶς [00081]
σώματος [00051] [00126]
σωφροσύνη [00049]

Τὰ [00105]
τὰ [00010] [00022] [00023] [00024] [00028] [00036] [00048] [00074] [00075] [00128] [00142] [00144] [00146] [00147] [00148] [00148] [00149] [00154]
ται [00006]
ταῖς [00003] [00005] [00006] [00022] [00142] [00154]
τάξει [00013]
τὰς [00079] [00133] [00134] [00140] [00145]
τας [00079]
Τατιανὲ [00002]
ΤΑΤΙΑΝΟΝ [00001]
Ταῦτα [00012] [00021]
ταῦτα [00003] [00009] [00010] [00013] [00128]
ταύτη [00160]
ταυτῇ [00158]
ταυτὸν [00047]
ταυτόν [00111]
τε [00004] [00024] [00049] [00049] [00052] [00128]
τελεσμάτων [00032]
τελευταῖον [00020]
τέχναι [00136]
τέχνας [00133] [00134]
τῇ [00008] [00011] [00030] [00091] [00141] [00142]
τὴν [00005] [00005] [00012] [00021] [00022] [00023] [00024] [00029] [00030] [00051] [00056] [00089] [00114] [00140]
τῆς [00006] [00008] [00026] [00040] [00045] [00048] [00065] [00085] [00088] [00113] [00124] [00128] [00141] [00153] [00157]
ΤΗΣ [00001]
τι [00013] [00057]
τινα [00024]
Τίνι [00026]
τίνι [00014]
τινὶ [00013]
τινι [00007] [00063]
τινος [00113]
τις [00055] [00132] [00134]
Τὸ [00031] [00035] [00066] [00069]
τὸ [00009] [00022] [00023] [00026] [00029] [00037] [00039] [00040] [00040] [00041] [00047] [00050] [00052] [00054] [00055] [00056] [00062] [00067] [00068] [00081] [00096] [00102] [00107] [00108] [00109] [00111] [00113] [00113] [00114] [00114] [00116] [00117] [00118] [00119] [00120] [00125] [00128] [00128] [00136] [00137] [00138] [00147] [00150] [00156] [00157]
τοιᾶσδε [00008]
τοίνυν [00032] [00041] [00050] [00061] [00083] [00094] [00121] [00128] [00136] [00144]
τοιούτων [00007] [00084]
τοῖς [00004] [00023]
Τὸν [00002]
τὸν [00013] [00050] [00122]
τοσοῦτον [00113]
ΤΟΥ [00001] [00001]
τοῦ [00010] [00023] [00023] [00025] [00030] [00036] [00038] [00051] [00055] [00057] [00057] [00065] [00113] [00115] [00133] [00140]
τοὺς [00007] [00013]
τοῦτο [00005] [00112] [00153] [00155]
τούτοις [00017]
τούτων [00050] [00091] [00145]
τρέφεται [00079] [00080] [00081] [00081] [00082]
τριχῆ [00068]
τυγχάνει [00004] [00016]
τῷ [00021] [00041] [00060] [00061] [00070] [00102] [00116] [00125] [00133] [00135] [00136] [00142]
τῷδε [00008]
τῶν [00003] [00005] [00006] [00007] [00008] [00022] [00024] [00031] [00032] [00041] [00047] [00050] [00084] [00104] [00105] [00140] [00141] [00144] [00154] [00158] [00160]

ὑγεία [00127]
ὑπακοῦσαι [00008]
ὕπαρξιν [00056]
ὑπάρχουσα [00015]
ὑπὸ [00040] [00113] [00124] [00128]
ὑποθήσομαι [00014]
ὑποκειμένου [00030]
ὑποπί [00029]
ὑποστειλά [00008]

φαντασίαν [00030] [00144]
φήσειεν [00055]
φθαρτικόν [00104] [00125]
φθείρεται [00128]
φθειρόμενα [00105]
φθειρόμενον [00106] [00124]
φθείρονται [00105]
φθόνος [00128]
φιλίᾳ [00011]
φρονεῖν [00004]
φύ [00048]
φύσεσιν [00142]
φυσικῶς [00037] [00040]

χαρακτηρίζειν [00021]
χάριν [00023]
χάριτι [00011]
χερσὶ [00022]
χρη [00022]
χρησάμενος [00013]
χρησαμένους [00003]
χρησί μους [00133]
χρήσιμον [00136] [00137] [00147]
χρησίμου [00023]
χρησόμεθα [00023]
χροιᾷ [00142]
χρώμεθα [00147]

ψευ δῶς [00148]
ψευδῆ [00144]
ψηφίδι [00062]
ψηφὶς [00062]
ψυχὴ [00014] [00032] [00041] [00041] [00044] [00048] [00050] [00062] [00065] [00070] [00071] [00072] [00079] [00092] [00094] [00112] [00115] [00121] [00128] [00132] [00140]
ψυχή [00033] [00042] [00050] [00058] [00060] [00091] [00099] [00130] [00139] [00151] [00159] [00161]

**ψυχῇ** [00091]
**ψυχὴν** [00051] [00076] [00089]
**ψυχῆς** [00002] [00021] [00026] [00040] [00065] [00076] [00085] [00128] [00138] [00150] [00153] [00157]
**ΨΥΧΗΣ** [00001]

**ὦ** [00002]
**ᾧ** [00056] [00057]
**ὠθεῖται** [00074]
**ὠθούμενον** [00036]
**ὧν** [00015] [00094]
**ὡρμήθην** [00012]
**ὡς** [00008] [00021] [00036] [00037] [00040] [00040] [00062] [00074] [00075] [00081] [00121] [00134] [00144] [00149]
**ὥσπερ** [00039] [00127] [00154]